www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ

# ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΔΩΔΕΚΑΝΗΣΩ

# ΑΓΙΩΝ

**(Ψαλλομένη τῇ ζ΄ Μαρτίου)**



**Ποιηθεῖσα ἐν ῾Αγίῳ Ὄρει τοῦ Ἄθωνος**

**+ 1994 +**

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# Τῌ Ζ΄ ΜΑΡΤΙΟΥ
# ΣΥΝΑΞΙΣ ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΔΩΔΕΚΑΝΗΣῼ ΑΓΙΩΝ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν
Στιχηρὰ προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.

Χαῖρε Δωδεκάνησος κλεινή, σύναξιν Ἁγίων σου πάντων, τιμῶσα σήμερον, οὓς Χριστῷ προσήνεγκας, ὡς ἀπαρχὰς λογικάς, ἐξ ἧς ὥρας ἐφύτευσεν, ἐν γῇ σου ὁ Παῦλος, σπέρμα τὸ τῆς πίστεως, ὥσπερ σοφὸς γεωργός, καὶ ἱεριχούντεια τείχη, πλάνης καθελὼν θείοις λόγοις, Ἐκκλησίαν ὧδε συνεστήσατο.

Ὅτε Ἰωάννη θαυμαστέ, δέσμιος εἰς Πάτμον μετήχθης δι᾽ Ὃν ἠγάπησας, τότε ἐδογμάτισας, Αὐτὸν ὡς Λόγον Θεοῦ, καὶ Προχόρῳ ἐξέθηκας, τῷ σῷ διακόνῳ, ἅπερ ἀπεκάλυψεν, ἐν τῷ Σπηλαίῳ Χριστός, ἔχων δὲ ἐν στέρνοις Ἀγάπην, ἔγνως ἥν ἡτοίμασεν Οὗτος, δόξαν τοῖς Αὐτῷ ἀκολουθήσασι.

Ξένη ἀσκουσῶν ἡ καλλονή, τὸν ψυχῆς Νυμφίον ζητοῦσα, τὴν Κῶ κατέλαβες, ξένην ἐπιδείξασα, ἀσκητικὴν ἀγωγήν, ὡς σειρὴν δὲ τοῦ Πνεύματος, ἐν Κάσῳ ἐλθοῦσα, ταύτην ἐξηγίασας, Κασσιανὴ θαυμαστή, ὅθεν συνεισήλθετε ἄμφω, εἰς παστάδα θείου νυμφῶνος, Κύριον ἡμῖν ἐξιλεούμεναι.

Κάρπαθος ὡς τίμιον καρπόν, σὲ ὦ θαυμαστὲ Ἰωάννη, ἐτεκνοτρόφησεν, μοναστῶν τὰ τάγματα παραμυθήσαντα, ἡ δὲ Πάτμος ἐκτήσατο, Χριστόδουλον μέγαν, στύλον καὶ δομήτορα τῆς Θεολόγου Μονῆς· ἅμα τῷ σεπτῷ Λεοντίῳ, ὅς ἐπατριάρχευσεν εἶτα, Ἱεροσολύμων εὐκλεέστατα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Χαίροις ὦ Φανούριε κλεινέ, ἀθλητὰ Κυρίου γενναῖε σὺν νεομάρτυσι, Χρήστῳ Ἰωάννῃ τε, τῆς Κῶ καυχήμασι, καὶ Νικήτᾳ θεόφρονι, Νισύρου τῷ γόνῳ, ἅμα Κωνσταντίνῳ τε, Ρόδον εὐφραίνοντι, αἵμασιν ὑμεῖς γὰρ τιμίοις, τὸν χιτῶνα Δωδεκανήσου, Ἐκκλησίας κατεπορφυρώσατε.

Γέρας ἀσκητῶν νεοφανῶν, ὄντες ὦ Γεράσιμε Πάτμου τὸ ἐγκαλλώπισμα, καὶ σὺ θεῖε Ἄνθιμε, Ἀστυπαλαίας φωστήρ, ἅμα Σάββᾳ θεόφρονι, Καλύμνου τῷ κλέει, σύντρεις ἱκετεύσατε τῷ Φιλανθρώπῳ Χριστῷ, ὅπως ἐπιχέῃ πλουσίως, Δωδεκανησίοις τὴν Χάριν, σύναξιν ὑμῶν σεπτῶς γεραίρουσι.

Δόξα. Ἦχος πλ.β΄.

Σήμερον σκίρτησον φαιδρῶς, ἡ τῆς Δωδεκανήσου ἁγία Ἐκκλησία, ἐπὶ τῇ λαμπρᾷ συνάξει τῆς ἁγιωνύμου πληθύος σου, ἥτις ἐξ Ἀποστόλων, Ὁσίων, Μαρτύρων τε καὶ Νεομαρτύρων τετραπλόκως συγκειμένη, τὴν κορυφήν σου ὡς διάδημα στέφει φωτομόρφως, ὥσπερ οἱ δωδεκάριθμοι λίθοι τὰ τείχη τῆς ἐπουρανίου Ἱερουσαλήμ· τῷ δὲ ψυχεραστῇ Νυμφίῳ σου βόησον· φύλαττε Δέσποτα τὴν ἐνταῦθα κληρουχίαν σου ἀδιαλώβητον, ταῖς πρεσβείαις τῶν Ἁγίων μου.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Καὶ τὰ Ἀναγνώσματα

Καθολικῆς Α΄ Ἐπιστολῆς Ἰωάννου τὸ ἀνάγνωσμα
(κεφ.δ΄ 11 - 16)

Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. Θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν σωτῆρα τοῦ κόσμου. Ὃς ἄν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἥν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστὶ καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ Θεῷ μένει καὶ ὁ Θεὸς ἐν αὐτῷ.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.
( κεφ. μγ΄ 9 -14)

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συναχθήσονται ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ Παῖς μου, ὅν ἐξελεξάμην, ἵνα γνῶτε και πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός· ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(κεφ. δ΄ 7 - 16)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστὶ φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Στιχηρὰ ἰδιόμελα

Ἦχος α΄.

Ὥσπερ τὰ κύματα Αἰγαίου τὰς ἀκτάς σου Δωδεκάνησε εὐφραίνουσιν, οὕτως ἡ τῆς Χάριτος αὔρα μᾶλλον σὲ ὑπερεδρόσισεν· ὅτε γὰρ ὁ χριστόψυχος



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Παῦλος τοῖς πελάγεσί σου διῆλθεν, ὡς φωτοφόρος λαμπὰς μετέδωκέ σοι τὸ φῶς τοῦ Χριστοῦ, ἀφ᾽ οὗ ἡ πολυάριθμος χορεία τῶν ῾Αγίων σου τὰς λυχνίας ἧναψε καὶ εἰς αἰῶνας φωτίζουσα τοὺς πιστούς σου, εἰς τὴν σωτήριον γνῶσιν ὁδηγεῖ καὶ κινεῖ τούτους εἰς μελῳδίαν εὐγνώμονα.

Ἦχος β΄.

᾿Εν γνησιότητι καρδίας τῷ Κυρίῳ ἠκολουθήσατε ῞Αγιοι τῆς Δωδεκανήσου, ὅθεν θλίψεις ἤ στενοχωρία, λιμὸς ἤ διωγμὸς ὑμᾶς οὐκ ἠδυνήθη Αὐτοῦ χωρίσαι. Δοκιμασθέντες γὰρ ὡς ἐν χωνευτηρίῳ, χρυσὸς τίμιος ἀνεφάνητε, κοσμοῦντες νῦν τῆς ᾿Εκκλησίας τὸ στερέωμα, καὶ ἡμᾶς θαρσοποιοῦντες, εἰς τὴν ὑμῶν ἁγιαστικὴν ἐκμίμησιν.

Ἦχος γ΄.

᾿Αγάπης οὐδὲν ἴσον, ὡς ὑμεῖς ἀποστολικὴ κορυφαιότης ἐδιδάξατε ᾿Ιωάννη τε καὶ Παῦλε, ἥν περ πρῶτοι ἐπιδείξαντες ἐν ἔργοις, τῷ Δεσπότῃ ἄχρι θανάτου διηκονήσατε, τοὺς ἀδελφοὺς ἐπιστηρίζοντες. ῞Οθεν τὴν τῆς Δωδεκανήσου ᾿Εκκλησίαν στοιχειώσαντες, γεγόνατε ἀπαρχὴ τῆς αὐτῆς ἁγιοτεκνίας, ἧς τὴν σύναξιν ἑορτάζοντες, δοξάζομεν Τριάδα τὴν τὰ πάντα σωτηριωδῶς ἁγιάζουσαν.

Ἦχος δ΄.

Τὸν ἁγιασμὸν ἐπιδιώκοντες, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον, ἕκαστος ὑμῶν κατὰ τὸ μέτρον τῆς δωρεᾶς, τούτου ῞Αγιοι ἐπετύχετε· κοινὸν γὰρ τὸ βραβεῖον, ἀλλ᾽ ὁ τρόπος τῆς κτήσεως διαφορότροπος. ῞Οθεν ᾿Απόστολοι, Μάρτυρες, ῞Οσιοι καὶ Νεομάρτυρες, ὡς τετταροειδὴς πολυανθία, ταῖς πολιτείαις ὑμῶν, τὴν Δωδεκάνησον κατευωδιάζετε, ἥτις σήμερον ἐπιτελεῖ τὴν φαιδρὰν ὑμῶν σύναξιν.

Δόξα. Ἦχος πλ.α΄.

Τοῦ Φωτὸς τοῦ κόσμου Χριστοῦ ὄντες μαθηταί, ῞Αγιοι τῆς Δωδεκανήσου, ὅλον Αὐτὸν ἐν τοῖς στέρνοις ὑμῶν περιεκλείσατε, τοῦ ροδιακοῦ Κολοσσοῦ ὑπέρτεροι ἀναφανέντες, ὡς ὁδηγήσαντες ἡμᾶς πρὸς τὸν ἀκύμαντον λιμένα τῆς Χριστογνωσίας· ἔλαμψαν γὰρ ὑμῶν τὰ εὐαγγελικὰ ἔργα μακάριοι, δι᾽ ὧν κατεστάθητε φωστῆρες ὑπέρλαμπροι τῆς ἀχειροποιήτου ῾Ιερουσαλὴμ,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἔνθα ἀπολαύοντες τῆς πρώτης καὶ ἀμειώτου φωτοδοσίας, μνήσθητε καὶ ἡμῶν ἁγιώτατοι.

Καὶ νῦν. Μακαρίζομέν σε.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια.
Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.

Παῦλε τρισμακάριστε, γόνε βροντῆς Ἰωάννη, Πρόχορε διάκονε, οἱ νυμφαγωγήσαντες Δωδεκάνησον, τῷ Χριστῷ χαίρετε, βλέποντες Ἁγίων, τὴν πληθὺν τὴν πολυώνυμον, ἥτις ἐκόσμησε, ταύτης Ἐκκλησίας διάδημα, καὶ πάντοτε πρεσβεύετε, ὅπως τὴν ἀγάπην τηρήσαντες, τὴν πρὸς τὸν Δεσπότην, καὶ πάντας τοὺς ἀνθρώπους καθαράν, ὅμοιοι Τούτῳ γενώμεθα, ὡς ὑμεῖς γεγράφατε.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Ὅσιε Χριστόδουλε, κτῖτορ Μονῆς Θεολόγου, Ἰωάννη πάνσοφε, τῆς Καρπάθου γέννημα καὶ διδάσκαλε, μοναστῶν πρόκριτοι, σὺν Κασσιανῇ τε, καὶ τῇ Ξένῃ ταῖς θεόφροσιν, Ἄνθιμε πάνσοφε, ἅμα Γερασίμῳ καὶ Σάββᾳ τε, οἱ σκάμμασιν ἀσκήσεως, Δωδεκανησίους στηρίξαντες, σὺν τῷ Λεοντίῳ, ὑψώσατε τὰς χεῖρας πρὸς Θεόν, ὅπως τοῦ Πνεύματος χάριτας, δῷ ἡμῖν ὡς εὔσπλαγχνος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἀθλητὰ Φανούριε, Μαρτύρων δόξα καὶ κλέος, Ἰωάννη ναύκληρε, Χρῆστε Κῶ καυχήματα ἀεισέβαστα, καὶ Νισύρου γέννημα, θαυμαστὲ Νικήτα, σὺν Ὑδραίῳ Κωνσταντίνῳ τε, οἱ ἀποπνίξαντες πλάνην τὴν ψυχώλεθρον αἵμασιν, ὑμῶν καὶ ἐνισχύσαντες, πίστιν ὀρθοδόξων ὡς ἔχοντες, νῦν τὴν παρρησίαν, πρεσβεύσατε Κυρίῳ ἐκτενῶς, ὅπως ἀεὶ Δωδεκάνησον, σκέπῃ ὡς φιλάνθρωπος.

Δόξα. Ἦχος δ΄.

Ἐγκωμιαζομένου δικαίου εὐφρανθήσονται λαοί, λέγει ὁ Σοφός· πόσῳ δὲ μᾶλλον εὐφρανθησόμεθα ἡμεῖς, ἀδελφοί, πληθύος ὅλης Ἁγίων Δωδεκανήσου σήμερον φαιδρῶς συντιμωμένης; Πᾶσι γὰρ γεγόνασι τῆς εὐσεβείας ὁδηγοί, μονοτρόποις τε καὶ τοῖς ἐν κόσμῳ. Οὕς ἐπαξίως

καταγεραίροντες, ἱκετεύσωμεν πρεσβεύειν, ἵνα καταξιωθῶμεν τῆς μετ᾽ αὐτῶν ἐν Κυρίῳ συστάσεως.

Καὶ νῦν. Νεῦσον παρακλήσεσιν...

Νῦν ἀπολύεις. Τρισάγιον κλπ.

᾽Απολυτίκιον. ῏Ηχος α΄. Τῆς ἐρήμου πολίτης.

Δωδεκάνησος χαῖρε ὥσπερ μήτηρ καλλίτεκνος, ἔχουσα Σιὼν ἐν τῇ ἄνω, συγγενεῖς τοὺς ῾Αγίους σου, οὕς Πνεῦμα τὸ πανάγιον φαιδράς, ἀνέδειξε λαμπάδας τοῦ Χριστοῦ, ᾽Αποστόλους ἀσκητάς τε τοὺς θαυμαστούς, καὶ μάρτυρας θεόφρονας. Δόξαζε ὅθεν τὸν Θεόν, βόησον καὶ ἱκέτευε, ὅπως τὴν Χάριν δαψιλῶς, ἡμῖν παρέχῃ πάντοτε.

Θεοτοκίον. Τοῦ Γαβριὴλ φθεγξαμένου σοι...

καὶ ᾽Απόλυσις



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

* * *

Μετὰ τὴν α´ στιχολογίαν.
Κάθισμα. Ἦχος α´. Τὸν τάφον σου Σωτήρ.

Χριστοῦ τοὺς μαθητάς, Ἰωάννην τὸν μέγαν, καὶ Παῦλον τὸν κλεινόν καὶ πρωτοκορυφαῖον, ἐν ὕμνοις τιμήσωμεν, οὗτοι γὰρ τὰ θεμέλια, ἐναπέθεντο τῆς Ἐκκλησίας ἐνταῦθα, στοιχειώσαντες ἡμᾶς εἰς πίστιν Κυρίου, τοῖς λόγοις τῆς Χάριτος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Κυβέρνησον Ἁγνή, τὴν ἀθλίαν ψυχήν μου, καὶ οἴκτειρον αὐτήν, ὑπὸ πλήθους πταισμάτων, βυθῷ ὀλισθαίνουσαν, ἀπωλείας Πανάμωμε, καὶ ἐν ὥρᾳ με, τῇ φοβερᾷ τοῦ θανάτου, ἐλευθέρωσον, κατηγορούντων δαιμόνων, φρικτῆς ἀποφάσεως.

Μετὰ τὴν β´ στιχολογίαν.
Κάθισμα. Ἦχος δ´. Ἐπεφάνης σήμερον.

Τὴν ἁγίαν σύναξιν, Δωδεκανήσου, τῶν Ἁγίων σήμερον, ἐπιτελοῦντες ἐν χαρᾷ, τούτους πιστοὶ ἱκετεύσωμεν· ἐξιλεοῦσθε, ἡμῖν τὸν Φιλάνθρωπον.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὰς ἀχράντους χεῖράς σου, Παρθενομῆτορ, ἐφαπλοῦσα σκέπασον, τὴν Δωδεκάνησον Ἁγνή, πρὸς τὸν Υἱόν σου κραυγάζουσαν· Χριστὲ παράσχου, τοῖς τέκνοις μου ἔλεος.

Μετὰ τὸν Πολυέλεον.
Κάθισμα. Ἦχος πλ.δ´. Τὴν Σοφίαν καὶ Λόγον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἰωάννην καὶ Παῦλον τοὺς ἀρχηγούς, τῆς ἡμῶν σωτηρίας λαμπροφανῶς, τιμήσωμεν σήμερον, Ἰωάννην Καρπάθιον, σὺν τῷ Χριστοδούλῳ τῆς Πάτμου ἀγλάϊσμα, τῇ Κασσιανῇ τε καὶ Ξένῃ φιλέορτοι· ἅμα Φανουρίῳ καὶ τετράδι Μαρτύρων, Ἀνθίμῳ καὶ Σάββᾳ τε, τὸν ὑψίνουν Γεράσιμον, καὶ Χριστῷ ἐκβοήσωμεν· δέχου σῶν Ἁγίων λιτάς, καὶ παράσχου Δέσποτα ἐλέη σου, τοῖς Δωδεκανησίοις, ὡς μόνος Φιλάνθρωπος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, ἀπὸ βρέφους μολύνας ὁ μιαρός, καὶ λόγοις καὶ πράξεσιν, ἐμαυτὸν κατερρύπωσα, καὶ οὐκ ἔχω τί πρᾶξαι, οὐδὲ καταφύγιον, ἀλλ᾽ οὐδ᾽ ἄλλην ἐλπίδα, πλὴν σοῦ Κόρη ἐπίσταμαι· φεῦ μοι τῷ ἀχρείῳ διὰ τοῦτο ἱκέτης, πρὸς σὲ τὴν Πανάχραντον, νῦν προστρέχω καὶ δέομαι, ὁμολογῶν σοι τὸ ἥμαρτον. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, εἰς σὲ γὰρ τὴν ἐλπίδα, ἀνέθηκα Δέσποινα.

Οἱ Ἀναβαθμοί· τὸ α´ ἀντίφωνον τοῦ δ´ ἤχου, Ἐκ νεότητός μου.
Προκείμενον· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
Στίχος· *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον· Τὸ τῆς Πέμπτης τῆς Δ´ ἑβδομάδος τοῦ Ματθαίου· Πάντα μοι παρεδόθη...

Ὁ Ν´, Ἐλέησόν με ὁ Θεός...

Δόξα. Ταῖς τῶν σῶν Ἁγίων.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*
καὶ τὸ στιχηρὸν ἰδιόμελον.

Ἦχος πλ.β´.

Ὡς καλλίτεκνος μήτηρ ἐπὶ τέκνοις εὐφραινομένη, οὕτω φαίνῃ σήμερον καὶ σὺ Ἐκκλησία Δωδεκανήσου· τῷ γὰρ Δεσπότῃ προσφέρουσα τὴν ἁγιοτεκνίαν σου Τούτῳ ἐκβοᾷς· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία μου, ἅ μοι δέδωκας

Κύριε, τὰ κατευφραίνοντά με τοῖς βίοις, καὶ στηρίζοντα ἁγίαις εὐχαῖς αὐτῶν, τὴν κληρονομίαν σου.

Ὁ κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς:
**“Δωδεκανήσου σε πληθὺν Ἁγίων πόθῳ ᾄσω. Ἀ(θανάσιος)”.**

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Δεσμῷ μου κρατούμενον, τὸν νοῦν Χριστὲ ἐλευθέρωσον, καὶ γλῶσσάν μου πλήρωσον πνευματικαῖς εὐηχαῖς, ὅπως ἔπαινον, τῶν ἐν Δωδεκανήσῳ, Ἁγίων ὑφάνω μου, ψυχῆς τῷ στήμονι.

Ὡς δέσμιος ἔφθασας, σὺν τῷ Προχόρῳ βροντόγονε, εἰς Πάτμον καὶ ἥρμοσας, ταύτην τῇ πίστει Χριστοῦ, συνεγράψω δέ, σπηλαίῳ Ἰωάννη, Αὐτοῦ Εὐαγγέλιον, καὶ Ἀποκάλυψιν.

Δραμὼν ὥσπερ γίγας τις, τὴν Δωδεκάνησον ἤγαγες, Χριστῷ Παῦλε μέγιστε, καταβαλὼν ἀνδρικῶς, Δωδεκάθεον, Ὀλύμπου διδαχαῖς σου, διὸ εὐγνωμόνως σε, ὕμνοις γεραίρομεν.

Θεοτοκίον

Ἐλπίδας μου τίθημι τῆς σωτηρίας Πανάμωμε, εἰς σὲ τὴν κυήσασαν κόσμου Σωτῆρα παντός, τὰ γὰρ ἔργα μου, παρώργισαν Δεσπότην, διὸ σὲ προβάλλομαι, πρέσβιν εὐπρόσδεκτον.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Καρπάθου καρπόν σε ἐπιγνόντες, καρποὺς ἐνεγκόντα θαυμαστούς, παραμυθίας λόγους σου, ὦ Ἰωάννη ὅσιε, δι᾽ ὧν παρακαλούμενοι, Χριστῷ εὐτόνως ἐγγίζομεν.

Ἀσκήσεως θεῖον στυλοβάτην, Μονῆς τε τῆς Πάτμου ἱδρυτήν, γινώσκοντες Χριστόδουλε, εὐχὰς ἐπικαλούμεθα, τὰς πατρικάς σου ὅσιε, ὅπως Χριστὸν ἀγαπήσωμεν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νοὸς τὰς δυνάμεις συναρμόσας, Λεόντιε πάτερ θαυμαστέ, τῆς Θεολόγου γέγονας, Μονῆς σεπτὸς ἡγούμενος, καὶ τῆς Σιὼν ἠξίωσαι, Πατριαρχείας τὸ ὕστερον.

Θεοτοκίον

Ἡ θεία ἀγάπη τοῦ Υἱοῦ σου, κατέφλεξε Ξένης τὴν ψυχήν, ἥτις τρυφὰς κατέλιπε, καὶ Κῶ εὑροῦσα πρόσφορον, πρὸς παρθενίας ἄσκησιν, ταύτην Ἁγνὴ καθηγίασε.

Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ὡς λειμὼν πολυανθής, ὤφθη ἡ σύναξις ὑμῶν, ἁγιώνυμε χορέ, Δωδεκανήσου κλεινῆς, τῶν εὐσεβῶν κατοσφραίνουσα τὰς καρδίας, πρωτάρχας θαυμαστούς, ἔχοντες Παῦλον ἐθνῶν, ἀπόστολον ὁμοῦ, σὺν τῷ υἱῷ τῆς Βροντῆς, τοὺς ὧδε πήξαντας τὴν Ἐκκλησίαν, καὶ ὁδηγήσαντας πρὸς εὐσέβειαν, διὸ βοῶμεν, Ἅγιοι πάντες, ὑπὲρ ἡμῶν καθικετεύσατε.

Δόξα. Τὸ αὐτό. Θεοτοκίον, ὅμοιον.

Κατεπλάγησαν Ἁγνή, πάντες Ἀγγέλων οἱ χοροί, τὸ μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν, πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτός, ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχήν, ὁ προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν ὁ τρέφων, πνοὴν ἀφάτῳ χρηστότητι, καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσι.

Ὠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.

Σειρηνώδη μέλη Κασσιανή, ἅπερ θείῳ Πνεύματι ἔγραψας, κατακηλοῦσι, τὰς ψυχὰς τῶν εὐλαβῶν, αἱ δὲ σεπταὶ πρεσβεῖαί σου, τοὺς Κασίους Μῆτερ στηρίζουσι.

Ὅρος ἀγαπήσεως τοῦ Χριστοῦ, τὸ ψυχὴν Φανούριε τίθεσθαι, καὶ ἀλογῆσαι, τῶν ἡδέων καὶ φθαρτῶν, ὅνπερ τηρήσας μακάριε, γέγονας μαρτύρων ὁμότροπος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὑποσκελισθεὶς ἐκ δαιμονικῆς, ἐνεργείας ἄφρων καθέστηκας, ἀλλὰ Κυρίου, τῇ δυνάμει ἀνδρισθείς, πλάνην τῆς Ἄγαρ ἔπνιξας, Ἰωάννη Κῷε σῷ αἵματι.

Θεοτοκίον

Σὺ ὑπάρχεις Μήτηρ Χριστιανῶν, σὺ πιπτόντων πέλεις ἀνόρθωσις, σὺ προστασία, καὶ βεβαία ἀρωγή, τῶν ἐλπιζόντων Δέσποινα, τῇ ἀμαχοτάτῃ πρεσβείᾳ σου.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἐξέπληξας τάγματα, Ἀγγέλων καὶ ἀνθρώπους τε, ἐν τῇ ἀνδρικῇ σου παρρησίᾳ, θεῖε Νικήτα, Νισύρου γόνε κλεινέ, ὅτε ἀπεπτύσσω βδελυράν, τοῦ Μωάμεθ πλάνησιν, καὶ τὴν κάραν ἀφῄρησαι.

Παράδεισον εὕρηκας, ἐν ᾧ καταπεφύτευσαι, Χρῆστε κηπουρὲ νεομαρτύρων, ἄνθος εὐῶδες, ἕνεκεν αἵματος, ὅπερ προσενήνοχας Χριστῷ, ἐν τῇ Κῷ μακάριε, ὡς ἀμνὸς ἐθελόθυτος.

Λιμένα ἀκύμαντον, ὦ Κωνσταντῖνε ἔφθασας, Ὕδρας καὶ τῆς Ρόδου μέγα κλέος, μετὰ γὰρ πτῶσιν, Χριστῷ ἐπέστρεψας, διὰ μετανοίας κραταιᾶς, καὶ ἐκχύσει αἵματος, θεῖον στέφος ἀπείληφας.

Θεοτοκίον

Ἡ κλῆσίς σου Ἄχραντε, ζωοῖ ψυχήν μου θνήσκουσαν, ἐκ πολλῶν πταισμάτων ἀνοήτων, καὶ ἐνισχύει ἐπιστροφῆς εἰς ὁδόν, πρὸς τὸν ἀγαπήσαντα ἡμῶν, φύσιν τὴν ταλαίπωρον, πολυεύσπλαγχνον Κύριον.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Θεῷ καλῶς εὐηρέστησας, ἐν νήσῳ Πάτμῳ πάτερ Γεράσιμε, καὶ ἐπεστήριξας, τοὺς ἀδελφοὺς θείοις λόγοις σου, καὶ πράξεσιν ἐνθέοις τῆς πολιτείας σου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Υἱὸς Φωτὸς ὢν ὦ Ἄνθιμε, φωτὸς τοῦ φαινομένου στερούμενος, πρὸς φῶς ὡδήγησας, Ἀστυπαλαίους ἀσκήσει σου, δι᾽ ἧς καὶ ἠγαπήθης, Θεῷ τρισόλβιε.

Νέος ἀστὴρ ἐξανέτειλας, ἐν νήσῳ τῆς Καλύμνου μακάριε, Σάββα καὶ εἴληφας, θαυματουργίας τὸ χάρισμα, καὶ θείου σου λειψάνου τὸ ἀδιάφθορον.

Θεοτοκίον

Ἁγνοπρεπῶς ἐκτελέσαι μου, τὸν βίον καταξίωσον Πάναγνε, πάσης ἀλλότριον, ἐπιβουλῆς τοῦ ἀλάστορος, τηροῦσα ταῖς εὐχαῖς σου, ὅπως δοξάζω σε.

**Κοντάκιον.**

Ἦχος δ΄. Ὁ ὑψωθείς.

Δωδεκανήσου ἁγιώνυμον πλῆθος,
συναθροισθέντες εὐφημοῦμεν ἐν ὕμνοις,
Χριστοῦ τοὺς Ἀποστόλους τε Ὁσίους ἀσκητάς,
ἅμα σὺν τοῖς Μάρτυσι, τὰς ἀνδρείας Παρθένους,
τούτους ἱκετεύοντες, ὅπως εὕρωμεν χάριν,
παρὰ Χριστοῦ καὶ τύχωμεν ὁμοῦ,
θείου ἐλέους, καὶ στάσεως κρείττονος.

**Ὁ Οἶκος**

Ὡς ὡραῖοι, ὦ Παῦλε, οἱ πόδες σου,
μᾶλλον δὲ ἡ ναῦς σε ἡ ἐνέγκασα
εὐθυδρόμως εἰς Ἀρχιπέλαγος Δωδεκανήσου.
Τότε γὰρ τῶν εἰδώλων ἡ πλάνη πεφυγάδευται
καὶ τοῖς βάθροις αὐτῶν Ἐκκλησία καθίδρυται,
Ἥτις τὸ ἀμβρόσιον πόμα τῆς Θεολογίας
τοῦ ἀδελφοῦ καὶ συναποστόλου σου Ἰωάννου ἐκπιοῦσα,
σφόδρα ἐμεγαλύνθη καὶ καλλικάρπως ἐβλάστησεν
μάρτυρας τοῦ αἵματός τε καὶ τῆς συνειδήσεως.
Ὧν σήμερον χρεωστικῶς τὴν μνήμην συντιμῶντες
Χριστὸν δεόμεθα ἱκετεύσατε, ὅπως τύχωμεν



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

θείου ἐλέους καὶ στάσεως κρείττονος.
Τὸ Συναξάριον

**Τῇ ζ΄ τοῦ αὐτοῦ μηνὸς Μαρτίου τὴν σύναξιν ἑορτάζομεν πάντων τῶν ἐν Δωδεκανήσῳ διαλαμψάντων ῾Αγίων.**

Στίχοι

*Τῇ δωδεκάτῃ ὥρᾳ ἔλθετε πρέσβεις,*
*Δωδεκανήσου Ἅγιοι, ἐκβιοῦσι.*
*῾Ομόκυδον τάγμ᾽ ῾Αγίων Δωδεκανήσοιο τιμάσθω.*

Ὧν πρῶτος τακτέος ὁ μέγας ἐν ἀποστόλοις καὶ κορυφαῖος ἐθνοκήρυξ καὶ στόμα τοῦ Δεσπότου Χριστοῦ Παῦλος, ἱδρυτὴς τῆς ἐν Δωδεκανήσῳ ᾽Εκκλησίας, καθὼς ἐν τῷ βιβλίῳ τῶν Πράξεων φαίνεται, κεφάλαιον κα΄.

Μετὰ δὲ τοῦτον ὁ βροντόγονος ἀπόστολος καὶ εὐαγγελιστὴς τῆς ἀγάπης θεῖος ᾽Ιωάννης ὁ Θεολόγος, ὅστις διὰ τὸν Κύριον ἐξορισθεὶς καὶ διαμείνας ἐν Πάτμῳ, ταύτην τῷ Χριστῷ προσήγαγεν ὡς προῖκα πολυτελῆ. ᾽Εκεῖσε συνέγραψε τὸ ῾Ιερὸν αὐτοῦ Εὐαγγέλιον, ἐν δὲ τῷ σῳζομένῳ εἰσέτι ἁγίῳ Σπηλαίῳ ὡραματίσθη, Πνεύματι ῾Αγίῳ, καὶ παρέδωκε ἡμῖν διὰ τοῦ διακόνου ἁγίου Προχόρου τὴν ἱερὰν καὶ φρικτὴν ᾽Αποκάλυψιν.

Ξένη, ἡ ἐκ Ρώμης εὐγενεστάτη καὶ περιφανὴς ἀσκήτρια διαφυγοῦσα τὰ τοῦ βίου μάταια καὶ πρόσκαιρα ὡρμίσθη ἐπ᾽ ἀρκετὸν χρόνου διάστημα ἐν τῇ νήσῳ Κῷ μετὰ τῶν πιστῶν θεραπαινίδων καὶ συνασκητριῶν αὐτῆς, ἔνθεν ἐπεραιώθη καὶ ἐτελειώθη ὁσιακῶς εἰς τὸν ἀντίπεραν μικρασιατικὸν χῶρον.

Κασσιανὴν δὲ τὴν καλλικέλαδον σειρῆνα τῆς ᾽Εκλησίας καὶ ἀριστοτέχνιν ὑμνογράφον διεκδικεῖ ἡ περιώνυμος τῶν Κασίων νῆσος, εἰς ἥν, τὴν κοσμικὴν ὑπερηφάνειαν φεύγουσα καὶ τὴν ἐν λάθε βιώσας ταπεινοφροσύνην διώκουσα, ἡ ῾Οσία ἐκ τῆς Βασιλευούσης ἐλθοῦσα ἐτελειώθη.

᾽Ιωάννης, ὁ περίφημος καὶ βαθυνούστατος συγγραφεὺς τῶν λεγομένων “Παραμυθητικῶν κεφαλαίων” τῆς Φιλοκαλίας, τῆς ἁλικτύπου Καρπάθου τυγχάνει γέννημα καὶ καύχημα, κοινὸς δὲ τῆς ᾽Εκκλησίας διδάσκαλος.

Χριστόδουλος ὁ περιώνυμος ἀσκητὴς καὶ κοινοβιάρχης, ὁ μεγαλόπνους ἀνακαινιστὴς τοῦ ἐν Δωδεκανήσῳ μοναχικοῦ βίου, ἐκ Λάτρου ἕλκων τὴν μοναστικὴν καταγωγήν, ἱδρύσατο κατὰ τὸν ια΄ αἰῶνα τὴν περίφημον καὶ εὐαγεστάτην Βασιλικὴν Μονὴν τοῦ ἁγίου ᾽Αποστόλου καὶ Εὐαγγελιστοῦ ᾽Ιωάννου τοῦ Θεολόγου, ἔνθα καὶ τὸ σεπτὸν αὐτοῦ Σκῆνος σῴζεται προσκυνούμενον.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



Τῆς Ἱερᾶς ταύτης Μονῆς τοῦ Θεολόγου ἄριστος καθηγούμενος διετέλεσεν ὁ ἐν θαύμασι μεγίστοις δοξασθεὶς καὶ εἶτα Πατριάρχης Ἱεροσολύμων γενόμενος ἱεράρχης ἅγιος Λεόντιος.

Φανούριος ὁ καλλιμάρτυς, παλαιὸς τυγχάνων τοῦ Χριστοῦ ἀθλητής, ἐφανερώθη θαυμαστῶς ἐν τῇ νήσῳ Ρόδῳ κατὰ τὸν ΙΣΤ΄ αἰῶνα, ἔνθα καὶ μετὰ πολλῆς παρρησίας ἰδιαίτατα τιμᾶται.

Νικήτας ὁ νεομάρτυς, ὁ Νισύριος, νηπιακὴν ἡλικίαν ἄγων ἐξισλαμίσθη καὶ ἐν τῇ ἐφηβείᾳ ἐλθὼν διὰ τοῦ μαρτυρικοῦ αὐτοῦ αἵματος τὴν σκοτόμορφον Ἄγαρ ἀπέπνιξεν ἀθλήσας ἐν Χίῳ.

Ἰωάννης ὁ ναύκληρος, νέος ὤν, δαιμονικῇ προσβολῇ ἀπωλέσας τὰς φρένας ἐξισλαμίσθη ἀκουσίως καὶ εἶτα ἰαθεὶς τῆς νοερᾶς προσβολῆς ἐμαρτύρησεν ἐν τῇ ἰδίᾳ αὐτοῦ πατρίδι Κ÷ˇῷ.

Χρῆστος, ὁ κηπουρός τὸ ἐπάγγελμα, ἐκ τῆς ἠπειρωτικῆς Πρεβέζης καταγόμενος, τῆς ἀξίας τῶν νεομαρτύρων ἀθλητικῶς μετέσχεν ἐν Κῷ εὑρεθείς.

Κωνσταντῖνος, τὸ τῆς ναυτικῆς νήσου Ὕδρας βλάστημα, ἐξισλαμισθεὶς ἐν Ρόδῳ καὶ μεταμεληθεὶς μετέβη εἶτα εἰς Ἅγιον Ὄρος, ἔνθα ὑπαλειφθεὶς ὑπὸ τῶν ἐκεῖσε ἁγίων πατέρων πρὸς τὸ μαρτύριον, ἐπανελθὼν εἰς Ρόδον γενναιοφρόνως ἐμαρτύρησε.

Γεράσιμος ὁ Βυζάντιος, ὁ σοφὸς καὶ θεόπνευστος ἐν διδασκάλοις, ἐν τῇ νήσῳ Πάτμῳ διδάξας καὶ θαυμαστὴν ἐπιδειξάμενος πολιτείαν ὁσιακῶς ἐτελειώθη, μνήμην καταλιπὼν ἀσκητικοῦ βίου.

Ἄνθιμος, τῆς Ἀστυπαλαίας ὁ γέρων καὶ πνευματικὸς ἀναγεννητὴς, καίτοι τυφλὸς τὰ φυσικὰ ὄμματα, πλήθη προσήγαγεν πρὸς τὸ φῶς τῆς ἀληθοῦς ζωῆς ἐν Χριστῷ, θαυματουργίαις τιμηθεὶς καὶ εἰρηνικῶς τελειωθείς.

Σάββας δέ, τὸ νεφεγγὲς ἄστρον τῶν ἀσκητῶν, γνωστὸς καὶ τῷ πνεύματι οἰκεῖος καὶ φίλος τοῦ ἁγίου Νεκταρίου τοῦ ἐν Αἰγίνῃ ὤν, ἠγκυροβόλησεν ἐν τῇ φιλοχρίστῳ Καλύμνῳ, ἔνθα ὑπὲρ ἄγαν ἀσκητικοὺς ἀγῶνας ἐπεδείξατο καὶ πολλοὺς ὠφελήσας λόγοις καὶ ἔργοις θαυμαστοῖς, ἐκεῖσε ἐτελειώθη, ἔνθα καὶ τὸ ἄφθαρτον Σκῆνος αὐτοῦ διαφυλάσσεται τιμώμενον.

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Γόνος κέκλησαι, Βροντῆς παρὰ Κυρίου σου, ὦ Ἰωάννη σοφέ, Λόγον Θεοῦ θαυμαστῶς, βροντήσας κατέλιπες τὸ Εὐαγγέλιον, ὅπερ Πρόχορος, ἐν Πάτμῳ σοι ὑπήχηται, σὺν φρικτῇ Ἀποκαλύψει.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἱεράτευσας, ἡμῶν Παῦλε χριστόφωνε, τῆς σωτηρίας ὁδόν, εὐθυδρομήσας εἰς Κῶ, καὶ Ῥόδον ὡς εἴρηται ἐν βίβλῳ Πράξεων, ὅθεν σήμερον, κοινῶς Δωδεκανήσιοι, σὲ τιμῶμεν εὐγνωμόνως.

Ὡς πανεύοσμος, δυὰς Παρθένων ὤφθητε, Ξένη φιλόχριστε, Κασσιανὴ θαυμαστή, λαμπάσιν ἀσκήσεως καταφωτίσασαι, Κῶ καὶ Κάσον τε, καὶ πρὸς τὸν θεῖον ἔρωτα, εὐλαβεῖς καθοδηγοῦσαι.

Θεοτοκίον

Νέκταρ δίδου μοι, Παρθένε τὸ χριστόβλυτον, ἵνα πικρία ἀρθῇ, ἥν με ποτίζει ἐχθρός, καὶ νάματα βλύσον μοι τῆς θείας Χάριτος, ὅπως Δέσποινα, μεταβληθῶ εἰς ἕτερον, τοῦ Υἱοῦ σου μόνον κτῆμα.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Πάτμον ὦ Χριστόδουλε οἰκήσας, ἀνήγειρας Μάνδραν περιώνυμον, Θεολόγου ἔνθα περ, θαυμαστῶς ἐξήσκησεν, καὶ ὁ κλεινὸς Λεόντιος καὶ σὸς διάδοχος, θείᾳ ψήφῳ, Ἱεροσολύμων τε, γεγονὼς πατριάρχης ἐς ὕστερον.

Ὅτε μονασταὶ ἐκπειρασθέντες, τὴν σὴν ἐξῃτήσαντο βοήθειαν, Ἰωάννη γέγραφας, τούτοις τὰ Κεφάλαια, ἅ μελετῶντες ἅπαντες, παραμυθούμεθα, τὴν σὴν νῆσον, Πάτερ μακαρίζοντες, ἥν εὐχαῖς σου σεπταῖς ἀεὶ στήριζε.

Θεῖον φῶς ἐγκλείσας τῇ ψυχῇ σου, Φανούριε μάρτυς τοῦ Χριστοῦ, πᾶσαν Δωδεκάνησον, φαίνεις θαυμασίοις σου, καὶ χαρισμάτων δέδειξαι πηγὴ ἀκένωτος, ὅθεν Ῥόδος, χαίρουσα γεραίρει σε, σὺν κλεινῷ Κωνσταντίνῳ τῷ μάρτυρι.

Θεοτοκίον

Ὦτα χάρισαί μοι Θεοτόκε, τὰ ἔσω πρὸς ἀκοὴν θείου θελήματος, ὅπερ δέλτοις ἔλιπον, οἱ Χριστοῦ Ἀπόστολοι, καὶ τηρητὴν ἀνάδειξον ἐν ἔργοις Δέσποινα, ἵνα ὅταν, ἔλθῃ ὁ Δεσπότης μου, ἐν πιστοῖς οἰκονόμοις ταχθήσωμαι.

Ὠδὴ θ΄. Ἅπας γηγενής.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἄλλον κῆπον νῦν, Ἐδὲμ τὴν οὐράνιον Χρῆστε κατῴκησας, ἔνθα ἀπολαύουσι, ζωῆς τοῦ ξύλου καὶ οἱ συμμάρτυρες, Νικήτας ὁ Νισύριος, καὶ Ἰωάννης τῆς Κῶ, ὡς τὴν γραῖαν, Ἄγαρ μυκτηρίσαντες, καὶ Χριστὸν Θεοῦ Λόγον κηρύξαντες.

Σάββα θαυμαστέ, Γεράσιμε πάντιμε, ὅσιε Ἄνθιμε, οἱ ἐσχάτοις ἔτεσιν, ἀναφανέντες φωστῆρες μέγιστοι, Δωδεκανήσου δέξασθε, τὰς πεμπομένας λιτάς, καὶ Κυρίῳ, πάντοτε πρεσβεύετε, ὅπως λεῖμμα Αὐτοῦ μεγαλύνηται.

Ὦ χριστοφεγγής, πληθὺς ἁγιώνυμε ἡ Δωδεκάνησον, πόνοις ἁγιάσασα, καὶ τῶν αἱμάτων ρείθροις ποτίσασα, ἡμῶν μὴ ἐπιλάθησθε, τῶν θείαν μνήμην φαιδρῶς, γεραιρόντων, ταύτην τὴν ἐτήσιον, καὶ ποθούντων τὸ Πνεῦμα τὸ Ἅγιον.

Θεοτοκίον

Ἄνασσα Ἁγνή, σὸν Υἱὸν λατρεύομεν Δωδεκανήσιοι, εἰ καὶ τούτῳ πταίομεν, σάρκα φοροῦντες καὶ κόσμῳ τρέχοντες, ἀλλὰ οὐκ ἀφιστάμεθα τῆς ζωηφόρου πηγῆς, σὲ μεσῖτιν πρὸς Αὐτὸν προβάλλοντες, καὶ πληθὺν τῶν Ἁγίων, οὕς σέβομεν.

Ἐξαποστειλάριον.
Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.

Σήμερον Δωδεκάνησος, τῷ Χριστῷ παριστῶσα, αὑτῆς Ἁγίων σύστημα, τέρπεται εὐφροσύνως, ὅτι τὸ κήρυγμα Παύλου, καὶ κλεινοῦ Θεολόγου, καρποὺς πολλοὺς ἐξήνεγκε, τοὺς πιστοὺς δυναμοῦντας, καὶ πρὸς ζωήν, τὴν ἀγήρω πόδας ψυχῶν τονοῦντας. Αὐτῶν πρεσβείαις Δέσποτα, τὸν λαόν σου φυλάττοις.

Θεοτοκίον. Ὅμοιον.

Τριάδος Κόρη τέτοκας, ἀπορρήτως τὸν ἕνα, διπλοῦν τῇ φύσει πέλοντα, καὶ διπλοῦν ἐνεργείᾳ, καὶ ἕνα τῇ ὑποστάσει· Τοῦτον οὖν ἐκδυσώπει, ἀεὶ ὑπὲρ τῶν πίστει σε, προσκυνούντων ἐκ πάσης, ἐπιβουλῆς, τοῦ ἐχθροῦ λυτρώσασθαι ὅτι πάντες, πρὸς σὲ νῦν καταφεύγομεν, Δέσποινα Θεοτόκε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια
Ἦχος πλ.δ΄. Ὢ τοῦ παραδόξου θαύματος

Εὐθυδρομήσας ὡς γέγραπται, Παῦλε θεόφρον τὴν Κῶ, καὶ τὴν Ρόδον κατέλαβες, ἔνθαπερ ἀνίδρυσας, Ἐκκλησίας καὶ ἔσπειρας, Χριστοῦ τὸν λόγον σὺν Ἰωάννῃ τε, τῷ Θεολόγῳ εἰς Πάτμον φθάσαντι· ὢπ οἵας γέγονεν, ἡ ἐνταῦθα ἔλευσις ὑμῶν σοφοί, εὐλογίας πρόξενος, καὶ ἁγιότητος.

Δεῦτε τὸν θεῖον Χριστόδουλον, τῶν ἀσκητῶν κορυφήν, καὶ Καρπάθου τὸ γέννημα, Ἰωάννην ὅσιον, ἐν ᾠδαῖς εὐφημήσωμεν, σὺν Λεοντίῳ πατριαρχεύσαντι, Κασσιανήν τε Ξένην τὴν πάνσεμνον, ὅσιον Ἄνθιμον καὶ κλεινὸν Γεράσιμον, Σάββαν σεπτόν, τῇ ἀσκήσει λάμψαντας, τὴν Δωδεκάνησον.

Χαίροις Μαρτύρων τὸ σύστημα, Δωδεκανήσου φαιδρόν, Χριστοῦ φέγγος Φανούριε, Ἰωάννη ἔνδοξε, κηπουρὲ Χρῆστε εὔψυχε, τῶν Νισυρίων Νικήτα καύχημα, καὶ Κωνσταντῖνε ρόδον ἀθλήσεως· ὑμεῖς τοῖς αἵμασι, πίστιν ἐτηρήσατε τὴν ἀληθῆ, ἥν ἡμῖν ἀφήκατε, δῶρον ὑπέρτιμον.

Μὴ διαλίπητε Ἅγιοι, καθικετεύειν Χριστῷ, χορηγεῖν ἡμῖν πάντοτε, τὴν εἰρήνην ἄσειστον, καὶ τὸν βίον ἀκύμαντον· τηρεῖν τὰ θεῖα Αὐτοῦ ἐντάλματα, καὶ ἐν ἀγάπῃ διαπορεύεσθαι, ὥστε μακάριοι, φθάσαι οὗ εὑρίσκεσθε, ἔνθα ὁμοῦ, ᾄσωμεν αἰώνια, τὸν ἐπινίκιον.

Δόξα. Ἦχος ὁ αὐτός.

Τῇ πρὸς Χριστὸν θεωτικῇ ἀγάπῃ πυρωθέντες Ἅγιοι, Τούτῳ ἠκολουθήσατε ὡς ἀρνία ποιμένι, καὶ υἱικῇ προθυμίᾳ, διά τε τοῦ λόγου διακονίας, τῆς ἀσκητικῆς ἐκδαπανήσεως καὶ τῆς αἱματεκχυσίας, τὸ γνήσιον τῆς πίστεως ὑμῶν ἐπεσφραγίσατε. Ὅθεν νῦν παρεστῶτες φαιδρῶς Αὐτῷ, πρεσβείαν ποιεῖτε ἐκτενῆ μακάριοι, ὑπὲρ Δωδεκανήσου, ἥν ποικίλως ἡγιάσατε.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



Εἰς τὴν Θ.Λειτουργίαν Ἀποστολοευάγγελον τὰ τῆς Κυριακῆς τῶν Ἁγίων Πάντων. Κοινωνικόν· Εἰς μνημόσυνον.

## Μεγαλυνάριον

Δεῦτε εὐφημήσωμεν εὐλαβῶς, Δωδεκανησίων, τοὺς φωστῆρας τοὺς θεαυγεῖς, Ἀποστόλους θείους, Ὁσίους Μάρτυράς τε, ἐν ὕμνοις ἐτησίοις, τούτους γεραίροντες.

## Στίχοι ἱκετικοί

*Δωδεκανήσου ἁγιώνυμοι πάντες,*
*Νύσσαν με φθάσαι, δεήθητε, τοῦ βίου.*





ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ